Od.22.478 Οἱ μὲν ἔπειτ᾽ ἀπονιψάμενοι χεῖράς τε πόδας τε
Od.22.479 εἰς Ὀδυσῆα δόμονδε κίον, τετέλεστο δὲ ἔργον.
Od.22.480 Αὐτὰρ ὅ γε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·
Od.22.481 « οἶσε θέειον, γρηΰ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,
Od.22.482 ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
Od.22.483 ἐλθεῖν ἐνθάδ᾽ ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξί·
Od.22.484 πάσᾱς δ᾽ ὄτρῡνον δμῳᾶς κατὰ δῶμα νέεσθαι. »
Od.22.485 Τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Od.22.486 « ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες.
Od.22.487 Ἀλλ᾽ ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ᾽ ἐνείκω,
Od.22.488 μηδ᾽ οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
Od.22.489 ἕσταθ᾽ ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη. »
Od.22.490 Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.22.491 « πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω. »
Od.22.492 Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
Od.22.493 ἤνεικεν δ᾽ ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
Od.22.494 εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
Od.22.495 Γρηῢς δ᾽ αὖτ᾽ ἀπέβη διὰ δώματα κᾱ́λ᾽ Ὀδυσῆος
Od.22.496 ἀγγελέουσα γυναιξὶ καὶ ὀτρυνέουσα νέεσθαι·
Od.22.497 αἱ δ᾽ ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι.
Od.22.498 Αἱ μὲν ἄρ᾽ ἀμφεχέοντο καὶ ἠσπάζοντ᾽ Ὀδυσῆα
Od.22.499 καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους
Od.22.500 χεῖράς τ᾽ αἰνύμεναι· τὸν δὲ γλυκὺς ῑ̔́μερος ᾕρει
Od.22.501 κλαυθμοῦ καὶ στοναχῆς, γί̄νωσκε δ᾽ ἄρα φρεσὶ πάσᾱς.
Od.23.1 Γρηῢς δ᾽ εἰς ὑπερῷ᾽ ἀνεβήσετο καγχαλόωσα,
Od.23.2 δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·
Od.23.3 γούνατα δ᾽ ἐρρώσαντο, πόδες δ᾽ ὑπερικταίνοντο.
Od.23.4 Στῆ δ᾽ ἄρ᾽ ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
Od.23.5 « ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
Od.23.6 ὀφθαλμοῖσι τεοῖσι τά τ᾽ ἔλδεαι ἤματα πάντα.

Od.23.7 Ἦλθ’ Ὀδυσεὺς καὶ οἶκον ἱκᾱ́νεται, ὀψέ περ ἐλθών·
Od.23.8 μνηστῆρας δ’ ἔκτεινεν ἀγήνορας, οἵ θ’ ἑὸν οἶκον
Od.23.9 κήδεσκον καὶ κτήματ’ ἔδον βιόωντό τε παῖδα. »
Od.23.10 Τὴν δ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.11 « μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε δύνανται
Od.23.12 ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ’ ἐόντα,
Od.23.13 καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
Od.23.14 οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
Od.23.15 Τίπτε με λωβεύεις πολυπενθέα θῡμὸν ἔχουσαν
Od.23.16 ταῦτα παρὲξ ἐρέουσα, καὶ ἐξ ὕπνου μ’ ἀνεγείρεις
Od.23.17 ἡδέος, ὅς μ’ ἐπέδησε φίλα βλέφαρ’ ἀμφικαλύψᾱς;
Od.23.18 Οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
Od.23.19 ᾤχετ’ ἐποψόμενος Κακοῗλιον οὐκ ὀνομαστήν.
Od.23.20 Ἀλλ’ ἄγε νῦν κατάβηθι καὶ ἂψ ἔρχευ μέγαρόνδε.
Od.23.21 Εἰ γάρ τίς μ’ ἄλλη γε γυναικῶν, αἵ μοι ἔᾱσι,
Od.23.22 ταῦτ’ ἐλθοῦσ’ ἤγγειλε καὶ ἐξ ὕπνου ἀνέγειρε,
Od.23.23 τῶ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
Od.23.24 αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει. »
Od.23.25 Τὴν δ’ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Od.23.26 « οὔ τί σε λωβεύω, τέκνον φίλον, ἀλλ’ ἔτυμόν τοι
Od.23.27 ἦλθ’ Ὀδυσεὺς καὶ οἶκον ἱκᾱ́νεται, ὡς ἀγορεύω,
Od.23.28 ὁ ξεῖνος, τὸν πάντες ἀτῑ́μων ἐν μεγάροισι.
Od.23.29 Τηλέμαχος δ’ ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα,
Od.23.30 ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
Od.23.31 ὄφρ’ ἀνδρῶν τείσαιτο βίην ὑπερηνορεόντων. »
Od.23.32 Ὣς ἔφαθ’, ἡ δ’ ἐχάρη καὶ ἀπὸ λέκτροιο θοροῦσα
Od.23.33 γρηῒ περιπλέχθη, βλεφάρων δ’ ἀπὸ δάκρυον ἧκε,
Od.23.34 καί μιν φωνήσᾱσ’ ἔπεα πτερόεντα προσηύδᾱ·
Od.23.35 « εἰ δ’ ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἐνίσπες,
Od.23.36 εἰ ἐτεὸν δὴ οἶκον ἱκᾱ́νεται, ὡς ἀγορεύεις,

Od.23.37 ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκε
Od.23.38 μοῦνος ἐών, οἱ δ᾽ αἰὲν ἀολλέες ἔνδον ἔμιμνον. »
Od.23.39 Τὴν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
Od.23.40 « οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἶον ἄκουσα
Od.23.41 κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
Od.23.42 ἥμεθ᾽ ἀτυζόμεναι, σανίδες δ᾽ ἔχον εὖ ἀραρυῖαι,
Od.23.43 πρίν γ᾽ ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσε
Od.23.44 Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
Od.23.45 Εὗρον ἔπειτ᾽ Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
Od.23.46 ἑσταόθ᾽· οἱ δέ μιν ἀμφί, κραταίπεδον οὖδας ἔχοντες,
Od.23.47 κείατ᾽ ἐπ᾽ ἀλλήλοισιν· ἰδοῦσά κε θῡμὸν ἰάνθης
Od.23.48 [αἵματι καὶ λύθρῳ πεπαλαγμένον ὥς τε λέοντα.]
Od.23.49 Νῦν δ᾽ οἱ μὲν δὴ πάντες ἐπ᾽ αὐλείῃσι θύρῃσιν
Od.23.50 ἁθρόοι, αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές,
Od.23.51 πῦρ μέγα κηάμενος· σὲ δέ με προέηκε καλέσσαι.
Od.23.52 Ἀλλ᾽ ἕπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον
Od.23.53 ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέπασθε.
Od.23.54 Νῦν δ᾽ ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
Od.23.55 ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σὲ
Od.23.56 καὶ παῖδ᾽ ἐν μεγάροισι· κακῶς δ᾽ οἵ πέρ μιν ἔρεζον
Od.23.57 μνηστῆρες, τοὺς πάντας ἐτείσατο ᾧ ἐνὶ οἴκῳ. »
Od.23.58 Τὴν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.59 « μαῖα φίλη, μή πω μέγ᾽ ἐπεύχεο καγχαλόωσα.
Od.23.60 Οἶσθα γὰρ ὥς κ᾽ ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
Od.23.61 πᾶσι, μάλιστα δ᾽ ἐμοί τε καὶ υἱέϊ, τὸν τεκόμεσθα·
Od.23.62 ἀλλ᾽ οὐκ ἔσθ᾽ ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις,
Od.23.63 ἀλλά τις ἀ̠θανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
Od.23.64 ὕβριν ἀγασσάμενος θῡμαλγέα καὶ κακὰ ἔργα.
Od.23.65 Οὔ τινα γὰρ τῑ́εσκον ἐπιχθονίων ἀνθρώπων,
Od.23.66 οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ὅτίς σφεας εἰσαφίκοιτο·

Od.23.67 τῶ δι᾽ ἀτασθαλίᾱς ἔπαθον κακόν. Αὐτὰρ Ὀδυσσεὺς
Od.23.68 ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ᾽ αὐτός. »
Od.23.69 Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
Od.23.70 « τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
Od.23.71 ἣ πόσιν ἔνδον ἐόντα παρ᾽ ἐσχάρῃ οὔ ποτε φῇσθα
Od.23.72 οἴκαδ᾽ ἐλεύσεσθαι· θῡμὸς δέ τοι αἰὲν ἄπιστος.
Od.23.73 Ἀλλ᾽ ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλό τι εἴπω,
Od.23.74 οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι·
Od.23.75 τὴν ἀπονίζουσα φρασάμην, ἔθελον δὲ σοὶ αὐτῇ
Od.23.76 εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσὶν
Od.23.77 οὐκ εἴᾱ εἰπεῖν πολυκερδείῃσι νόοιο.
Od.23.78 Ἀλλ᾽ ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,
Od.23.79 αἴ κέν σ᾽ ἐξαπάφω, κτεῖναί μ᾽ οἰκτίστῳ ὀλέθρῳ. »
Od.23.80 Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια·
Od.23.81 « μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετᾱ́ων
Od.23.82 δήνεα εἴρυσθαι, μάλα περ πολύϊδριν ἐοῦσαν·
Od.23.83 ἀλλ᾽ ἔμπης ἴομεν μετὰ παῖδ᾽ ἐμόν, ὄφρα ἴδωμαι
Od.23.84 ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ᾽ ὃς ἔπεφνεν. »
Od.23.85 Ὣς φαμένη κατέβαιν᾽ ὑπερώϊα· πολλὰ δέ οἱ κῆρ
Od.23.86 ὥρμαιν᾽, ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
Od.23.87 ἦ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
Od.23.88 Ἡ δ᾽ ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λᾱ́ϊνον οὐδόν,
Od.23.89 ἕζετ᾽ ἔπειτ᾽ Ὀδυσῆος ἐναντίον, ἐν πυρὸς αὐγῇ,
Od.23.90 τοίχου τοῦ ἑτέρου· ὁ δ᾽ ἄρα πρὸς κίονα μακρὴν
Od.23.91 ἧστο κάτω ὁρόων, ποτιδέγμενος εἴ τί μιν εἴποι
Od.23.92 ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
Od.23.93 Ἡ δ᾽ ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκᾱνεν·
Od.23.94 ὄψει δ᾽ ἄλλοτε μέν μιν ἐνωπαδίως ἐσίδεσκεν,
Od.23.95 ἄλλοτε δ᾽ ἀγνώσασκε κακὰ χροῒ εἵματ᾽ ἔχοντα.
Od.23.96 Τηλέμαχος δ᾽ ἐνένῑπεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·

Od.23.97 « μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θῡμὸν ἔχουσα,
Od.23.98 τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
Od.23.99 ἑζομένη μύ̄θοισιν ἀνείρεαι οὐδὲ μεταλλᾷς;
Od.23.100 Οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θῡμῷ
Od.23.101 ἀνδρὸς ἀποσταίη, ὅ̄ς οἱ κακὰ πολλὰ μογήσᾱς
Od.23.102 ἔλθοι ἐεικοστῷ ἔτεϊ̈ ἐς πατρίδα γαῖαν·
Od.23.103 σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο. »
Od.23.104 Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.105 « τέκνον ἐμόν, θῡμός μοι ἐνὶ στήθεσσι τέθηπεν,
Od.23.106 οὐδέ τι προσφάσθαι δύναμαι ἔπος οὐδ' ἐρέεσθαι
Od.23.107 οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον. Εἰ δ' ἐτεὸν δὴ
Od.23.108 ἔστ' Ὀδυσεὺς καὶ οἶκον ἱκά̄νεται, ἦ μάλα νῶϊ
Od.23.109 γνωσόμεθ' ἀλλήλω καὶ λώϊον· ἔστι γὰρ ἥμῑν
Od.23.110 σήμαθ', ἃ̄ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων. »
Od.23.111 Ὣς φάτο, μείδησεν δὲ πολύτλᾱς δῖος Ὀδυσσεύς,
Od.23.112 αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδᾱ·
Od.23.113 « Τηλέμαχ', ἦ τοι μητέρ' ἐνὶ μεγάροισιν ἔᾱσον
Od.23.114 πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
Od.23.115 Νῦν δ' ὅττι ῥυπόω, κακὰ δὲ χροΐ̈ εἵματα εἶμαι,
Od.23.116 τοὔνεκ' ἀτῑμάζει με καὶ οὔ πώ φησι τὸν εἶναι.
Od.23.117 Ἡμεῖς δὲ φραζώμεθ', ὅπως ὄχ' ἄριστα γένηται.
Od.23.118 Καὶ γάρ τίς θ' ἕνα φῶτα κατακτείνᾱς ἐνὶ δήμῳ,
Od.23.119 ᾧ̄ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
Od.23.120 φεύγει πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
Od.23.121 ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν, οἳ̄ μέγ' ἄριστοι
Od.23.122 κούρων εἰ̣ν Ἰθάκῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα. »
Od.23.123 Τὸν δ' αὖ Τηλέμαχος πεπνῡμένος ἀντίον ηὔδᾱ·
Od.23.124 « αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
Od.23.125 μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κέ τίς τοι
Od.23.126 ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.

Od.23.127 [ἡμεῖς δὲ μεμαῶτες ἅμ᾽ ἑψόμεθ᾽, οὐδέ τί φημι
Od.23.128 ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι. »]
Od.23.129 Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.23.130 « τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Od.23.131 Πρῶτα μὲν ἂρ λούσασθε καὶ ἀμφιέσασθε χιτῶνας,
Od.23.132 δμῳᾶς δ᾽ ἐν μεγάροισιν ἀνώγετε εἵμαθ᾽ ἑλέσθαι·
Od.23.133 αὐτὰρ θεῖος ἀοιδὸς ἔχων φόρμιγγα λίγειαν
Od.23.134 ὗμῖν ἡγείσθω πολυπαίγμονος ὀρχηθμοῖο,
Od.23.135 ὥς κέν τις φαίη γάμον ἔμμεναι ἐκτὸς ἀκούων,
Od.23.136 ἢ ἀν᾽ ὁδὸν στείχων ἢ οἳ περιναιετάουσι·
Od.23.137 μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
Od.23.138 ἀνδρῶν μνηστήρων, πρίν γ᾽ ἡμέας ἐλθέμεν ἔξω
Od.23.139 ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον. Ἔνθα δ᾽ ἔπειτα
Od.23.140 φρασσόμεθ᾽, ὅττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ. »
Od.23.141 Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο.
Od.23.142 Πρῶτα μὲν ἂρ λούσαντο καὶ ἀμφιέσαντο χιτῶνας,
Od.23.143 ὅπλισθεν δὲ γυναῖκες· ὁ δ᾽ εἵλετο θεῖος ἀοιδὸς
Od.23.144 φόρμιγγα γλαφυρήν, ἐν δέ σφισιν ἵμερον ὦρσε
Od.23.145 μολπῆς τε γλυκερῆς καὶ ἀμῦμονος ὀρχηθμοῖο.
Od.23.146 Τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶν
Od.23.147 ἀνδρῶν παιζόντων καλλιζώνων τε γυναικῶν.
Od.23.148 Ὧδε δέ τις εἴπεσκε δόμων ἔκτοσθεν ἀκούων·
Od.23.149 « ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
Od.23.150 σχετλίη, οὐδ᾽ ἔτλη πόσιος οὗ κουριδίοιο
Od.23.151 εἴρυσθαι μέγα δῶμα διαμπερές, εἷος ἵκοιτο. »
Od.23.152 Ὣς ἄρα τις εἴπεσκε, τὰ δ᾽ οὐκ ἴσαν ὡς ἐτέτυκτο.
Od.23.153 Αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Od.23.154 Εὐρυνόμη ταμίη λοῦσεν καὶ χρῖσεν ἐλαίῳ,
Od.23.155 ἀμφὶ δέ μιν φᾶρος κᾱλὸν βάλεν ἠδὲ χιτῶνα·
Od.23.156 αὐτὰρ κὰκ κεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη

Od.23.157 [μείζονά τ᾽ εἰσιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος
Od.23.158 οὔλᾱς ἧκε κόμᾱς, ὑακινθίνῳ ἄνθει ὁμοίᾱς.
Od.23.159 Ὡς δ᾽ ὅτε τις χρῡσὸν περιχεύεται ἀργύρῳ ᾱ̓νὴρ
Od.23.160 ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
Od.23.161 τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει,
Od.23.162 ὣς ἄρα τῷ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.]
Od.23.163 Ἐκ δ᾽ ἀσαμίνθου βῆ δέμας ᾱ̓θανάτοισιν ὁμοῖος·
Od.23.164 ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου, ἔνθεν ἀνέστη,
Od.23.165 ἀντίον ἧς ἀλόχου, καί μιν πρὸς μῦθον ἔειπε·
Od.23.166 « δαιμονίη, περὶ σοί γε γυναικῶν θηλυτεράων
Od.23.167 κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ᾽ ἔχοντες·
Od.23.168 οὐ μέν κ᾽ ἄλλη γ᾽ ὧδε γυνὴ τετληότι θῡμῷ
Od.23.169 ἀνδρὸς ἀποσταίη, ὅ̱ς οἱ κακὰ πολλὰ μογήσᾱς
Od.23.170 ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
Od.23.171 Ἀλλ᾽ ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
Od.23.172 λέξομαι· ἦ γὰρ τῇ γε σιδήρεον ἐν φρεσὶν ἦτορ. »
Od.23.173 Τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.174 « δαιμόνι᾽, οὐ γάρ τι μεγαλίζομαι οὐδ᾽ ἀθερίζω
Od.23.175 οὐδὲ λίην ἄγαμαι, μάλα δ᾽ εὖ οἶδ᾽ οἷος ἔησθα
Od.23.176 ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
Od.23.177 Ἀλλ᾽ ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
Od.23.178 ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ᾽ αὐτὸς ἐποίει·
Od.23.179 ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ᾽ εὐνήν,
Od.23.180 κώεα καὶ χλαίνᾱς καὶ ῥήγεα σῑγαλόεντα. »
Od.23.181 Ὣς ἄρ᾽ ἔφη πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
Od.23.182 ὀχθήσᾱς ἄλοχον προσεφώνεε κεδνὰ ἰδυῖαν·
Od.23.183 « ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θῡμαλγὲς ἔειπες.
Od.23.184 Τίς δέ μοι ἄλλοσε θῆκε λέχος; Χαλεπὸν δέ κεν εἴη
Od.23.185 καὶ μάλ᾽ ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
Od.23.186 ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ.

Od.23.187 Ἀνδρῶν δ᾽ οὔ κέν τις ζωὸς βροτός, οὐδὲ μάλ᾽ ἡβῶν,

Od.23.188 ῥεῖα μετοχλίσσειεν, ἐπεὶ μέγα σῆμα τέτυκται

Od.23.189 ἐν λέχει ἀσκητῷ· τὸ δ᾽ ἐγὼ κάμον οὐδέ τις ἄλλος.

Od.23.190 Θάμνος ἔφῡ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός,

Od.23.191 ἀκμηνὸς θαλέθων· πάχετος δ᾽ ἦν ἠΰτε κίων.

Od.23.192 Τῷ δ᾽ ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ᾽ ἐτέλεσσα,

Od.23.193 πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,

Od.23.194 κολλητᾱ̀ς δ᾽ ἐπέθηκα θύρᾱς, πυκινῶς ἀραρυίᾱς.

Od.23.195 Καὶ τότ᾽ ἔπειτ᾽ ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,

Od.23.196 κορμὸν δ᾽ ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ

Od.23.197 εὖ καὶ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθῡνα,

Od.23.198 ἑρμῖν᾽ ἀσκήσᾱς, τέτρηνα δὲ πάντα τερέτρῳ.

Od.23.199 Ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ᾽ ἐτέλεσσα,

Od.23.200 δαιδάλλων χρῡσῷ τε καὶ ἀργύρῳ ἠδ᾽ ἐλέφαντι·

Od.23.201 ἐν δ᾽ ἐτάνυσσ᾽ ἱμάντα βοὸς φοίνῑκι φαεινόν.

Od.23.202 Οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,

Od.23.203 ἤ μοι ἔτ᾽ ἔμπεδόν ἐστι, γύναι, λέχος, ἦέ τις ἤδη

Od.23.204 ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν᾽ ἐλαίης. »

Od.23.205 Ὣς φάτο, τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,

Od.23.206 σήματ᾽ ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ᾽ Ὀδυσσεύς·

Od.23.207 δακρῡ́σᾱσα δ᾽ ἔπειτ᾽ ἰθὺς κίεν, ἀμφὶ δὲ χεῖρας

Od.23.208 δειρῇ βάλλ᾽ Ὀδυσῆϊ, κάρη δ᾽ ἔκυσ᾽ ἠδὲ προσηύδᾱ·

Od.23.209 « μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα

Od.23.210 ἀνθρώπων πέπνῡσο· θεοὶ δ᾽ ὤπαζον ὀϊζύν,

Od.23.211 οἳ νῶϊν ἀγάσαντο παρ᾽ ἀλλήλοισι μένοντε

Od.23.212 ἥβης ταρπῆναι καὶ γήραος οὐδὸν ἱκέσθαι.

Od.23.213 Αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα,

Od.23.214 οὕνεκά σ᾽ οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ᾽ ἀγάπησα.

Od.23.215 Αἰεὶ γάρ μοι θῡμὸς ἐνὶ στήθεσσι φίλοισιν

Od.23.216 ἐρρίγει, μή τίς με βροτῶν ἀπάφοιτ᾽ ἐπέεσσιν

Od.23.217 ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
Od.23.218 Οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,
Od.23.219 ἀνδρὶ παρ’ ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
Od.23.220 εἰ ᾔδη, ὅ μιν αὖτις ἀρήϊοι υἷες Ἀχαιῶν
Od.23.221 ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ’ ἔμελλον.
Od.23.222 Τὴν δ’ ἦ τοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
Od.23.223 τὴν δ’ ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θῡμῷ
Od.23.224 λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
Od.23.225 Νῦν δ’, ἐπεὶ ἤδη σήματ’ ἀριφραδέᾱ κατέλεξας
Od.23.226 εὐνῆς ἡμετέρης, τὴν οὐ βροτὸς ἄλλος ὀπώπει,
Od.23.227 ἀλλ’ οἶοι σύ τ’ ἐγώ τε καὶ ἀμφίπολος μία μούνη,
Od.23.228 Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
Od.23.229 ἣ νῶϊν εἴρῡτο θύρᾱς πυκινοῦ θαλάμοιο,
Od.23.230 πείθεις δή μευ θῡμόν, ἀπηνέα περ μάλ’ ἐόντα. »
Od.23.231 Ὣς φάτο, τῷ δ’ ἔτι μᾶλλον ὑφ’ ἵμερον ὦρσε γόοιο·
Od.23.232 κλαῖε δ’ ἔχων ἄλοχον θῡμᾱρέα, κεδνὰ ἰδυῖαν.
Od.23.233 Ὡς δ’ ὅτ’ ἂν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ,
Od.23.234 ὧν τε Ποσειδάων εὐεργέα νῆ’ ἐνὶ πόντῳ
Od.23.235 ῥαίσῃ, ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
Od.23.236 παῦροι δ’ ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
Od.23.237 νηχόμενοι, πολλὴ δὲ περὶ χροΐ τέτροφεν ἅλμη,
Od.23.238 ἀσπάσιοι δ’ ἐπέβαν γαίης, κακότητα φυγόντες·
Od.23.239 ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰσοροώσῃ,
Od.23.240 δειρῆς δ’ οὔ πω πάμπαν ἀφίετο πήχεε λευκώ.
Od.23.241 Καί νύ κ’ ὀδῡρομένοισι φάνη ῥοδοδάκτυλος Ἠώς,
Od.23.242 εἰ μὴ ἄρ’ ἄλλ’ ἐνόησε θεᾱ̀ γλαυκῶπις Ἀθήνη.
Od.23.243 Νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠῶ δ’ αὖτε
Od.23.244 ῥῡ́σατ’ ἐπ’ Ὠκεανῷ χρῡσόθρονον οὐδ’ ἔα ἵππους
Od.23.245 ζεύγνυσθ’ ὠκύποδας φάος ἀνθρώποισι φέροντας,
Od.23.246 Λάμπον καὶ Φαέθονθ’, οἵ τ’ Ἠῶ πῶλοι ἄγουσι.

Od.23.247 Καὶ τότ’ ἄρ’ ἣν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
Od.23.248 « ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ’ ἀέθλων
Od.23.249 ἤλθομεν, ἀλλ’ ἔτ’ ὄπισθεν ἀμέτρητος πόνος ἔσται,
Od.23.250 πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
Od.23.251 Ὣς γάρ μοι ψῡχὴ μαντεύσατο Τειρεσίᾱο
Od.23.252 ἤματι τῷ, ὅτε δὴ κατέβην δόμον Ἅϊδος εἴσω,
Od.23.253 νόστον ἑταίροισιν διζήμενος ἠδ’ ἐμοὶ αὐτῷ.
Od.23.254 Ἀλλ’ ἔρχευ, λέκτρονδ’ ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
Od.23.255 ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες. »
Od.23.256 Τὸν δ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.257 « εὐνὴ μὲν δὴ σοί γε τότ’ ἔσσεται, ὁππότε θῡμῷ
Od.23.258 σῷ ἐθέλῃς, ἐπεὶ ἄρ σε θεοὶ ποίησαν ἱκέσθαι
Od.23.259 οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν·
Od.23.260 ἀλλ’ ἐπεὶ ἐφράσθης καί τοι θεὸς ἔμβαλε θῡμῷ,
Od.23.261 εἴπ’ ἄγε μοι τὸν ἄεθλον, ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
Od.23.262 πεύσομαι, αὐτίκα δ’ ἐστὶ δαήμεναι οὔ τι χέρειον. »
Od.23.263 Τὴν δ’ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.23.264 « δαιμονίη, τί τ’ ἄρ’ αὖ με μάλ’ ὀτρῡ́νουσα κελεύεις
Od.23.265 εἰπέμεν; Αὐτὰρ ἐγὼ μῡθήσομαι οὐδ’ ἐπικεύσω.
Od.23.266 Οὐ μέν τοι θῡμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
Od.23.267 χαίρω, ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε’ ἄνωγεν
Od.23.268 ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ’ εὐῆρες ἐρετμόν,
Od.23.269 εἰς ὅ κε τοὺς ἀφίκωμαι, οἳ οὐκ ἴσᾱσι θάλασσαν
Od.23.270 ᾱ̓νέρες οὐδέ θ’ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
Od.23.271 οὐδ’ ἄρα τοὶ ἴσᾱσι νέας φοινῑκοπαρῄους
Od.23.272 οὐδ’ εὐήρε’ ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται.
Od.23.273 Σῆμα δέ μοι τόδ’ ἔειπεν ἀριφραδές, οὐδέ σε κεύσω·
Od.23.274 ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδῑ́της
Od.23.275 φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
Od.23.276 καὶ τότε μ’ ἐν γαίῃ πήξαντ’ ἐκέλευσεν ἐρετμόν,

Od.23.277 ἔρξανθ’ ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
Od.23.278 ἀρνειὸν ταῦρόν τε συῶν τ’ ἐπιβήτορα κάπρον,
Od.23.279 οἴκαδ’ ἀποστείχειν ἔρδειν θ’ ἱερὰς ἑκατόμβας
Od.23.280 ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
Od.23.281 πᾶσι μάλ’ ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
Od.23.282 ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
Od.23.283 γήρᾳ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
Od.23.284 ὄλβιοι ἔσσονται. Τὰ δέ μοι φάτο πάντα τελεῖσθαι. »
Od.23.285 Τὸν δ’ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Od.23.286 « εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,
Od.23.287 ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι. »
Od.23.288 Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Od.23.289 τόφρα δ’ ἄρ’ Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
Od.23.290 ἐσθῆτος μαλακῆς δαΐδων ὕπο λαμπομενάων.
Od.23.291 Αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
Od.23.292 γρηῢς μὲν κείουσα πάλιν οἶκόνδε βεβήκει,
Od.23.293 τοῖσιν δ’ Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
Od.23.294 ἐρχομένοισι λέχοσδε δάος μετὰ χερσὶν ἔχουσα·
Od.23.295 ἐς θάλαμον δ’ ἀγαγοῦσα πάλιν κίεν. Οἱ μὲν ἔπειτα
Od.23.296 ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο·
Od.23.297 αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
Od.23.298 παῦσαν ἄρ’ ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας,
Od.23.299 αὐτοὶ δ’ εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
Od.23.300 Τὼ δ’ ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
Od.23.301 τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντες,
Od.23.302 ἡ μὲν ὅσ’ ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν
Od.23.303 ἀνδρῶν μνηστήρων ἐσορῶσ’ ἀΐδηλον ὅμῖλον,
Od.23.304 οἳ ἕθεν εἵνεκα πολλά, βόας καὶ ἴφια μῆλα,
Od.23.305 ἔσφαζον, πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος·
Od.23.306 αὐτὰρ διογενὴς Ὀδυσεύς, ὅσα κήδε’ ἔθηκεν

Od.23.307 ἀνθρώποισ’ ὅσα τ’ αὐτὸς ὀϊζῡ́σᾱς ἐμόγησε,
Od.23.308 πάντ’ ἔλεγ’· ἡ δ’ ἄρα τέρπετ’ ἀκούουσ’, οὐδέ οἱ ὕπνος
Od.23.309 πῖπτεν ἐπὶ βλεφάροισι πάρος καταλέξαι ἅπαντα.
Od.23.310 Ἤρξατο δ’, ὡς πρῶτον Κίκονας δάμασ’, αὐτὰρ ἔπειτα
Od.23.311 ἦλθεν Λωτοφάγων ἀνδρῶν πῑ́ειραν ἄρουραν·
Od.23.312 ἠδ’ ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετείσατο ποινὴν
Od.23.313 ἰφθῑ́μων ἑτάρων, οὓς ἤσθιεν οὐδ’ ἐλέαιρεν·
Od.23.314 ἠδ’ ὡς Αἴολον ῑ̔́κεθ’, ὅ μιν πρόφρων ὑπέδεκτο
Od.23.315 καὶ πέμπ’, οὐδέ πω αἶσα φίλην ἐς πατρίδ’ ἱκέσθαι
Od.23.316 ἤην, ἀλλά μιν αὖτις ἀναρπάξᾱσα θύελλα
Od.23.317 πόντον ἐπ’ ἰχθυόεντα φέρεν βαρέα στενάχοντα·
Od.23.318 ἠδ’ ὡς Τηλέπυλον Λαιστρῡγονίην ἀφίκᾱνεν,
Od.23.319 οἳ νῆάς τ’ ὄλεσαν καὶ ἐϋκνήμῑδας ἑταίρους
Od.23.320 [πάντας· Ὀδυσσεὺς δ’ οἶος ὑπέκφυγε νηῒ μελαίνῃ.]
Od.23.321 Καὶ Κίρκης κατέλεξε δόλον πολυμηχανίην τε,
Od.23.322 ἠδ’ ὡς εἰς Ἀΐδεω̯ δόμον ἤλυθεν εὐρώεντα
Od.23.323 ψῡχῇ χρησόμενος Θηβαίου Τειρεσίᾱο
Od.23.324 νηῒ πολυκλήῑ̈δι, καὶ εἴσιδε πάντας ἑταίρους
Od.23.325 μητέρα θ’, ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα·
Od.23.326 ἠδ’ ὡς Σειρήνων ἁδινᾱ́ων φθόγγον ἄκουσεν,
Od.23.327 ὥς θ’ ἵκετο Πλαγκτᾱ̀ς πέτρᾱς δεινήν τε Χάρυβδιν
Od.23.328 Σκύλλην θ’, ἣν οὔ πώ ποτ’ ἀκήριοι ἄνδρες ἄλυξαν·
Od.23.329 ἠδ’ ὡς Ἠελίοιο βόᾱς κατέπεφνον ἑταῖροι·
Od.23.330 ἠδ’ ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Od.23.331 Ζεὺς ὑψιβρεμέτης, ἀπὸ δ’ ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
Od.23.332 πάντες ὁμῶς, αὐτὸς δὲ κακᾱ̀ς ὑπὸ κῆρας ἄλυξεν·
Od.23.333 ὥς θ’ ἵκετ’ Ὠ̯γυγίην νῆσον νύμφην τε Καλυψώ,
Od.23.334 ἣ δή μιν κατέρῡκε, λιλαιομένη πόσιν εἶναι,
Od.23.335 ἐν σπέεσι γλαφυροῖσι καὶ ἔτρεφεν ἠδὲ ἔφασκεν
Od.23.336 θήσειν ἀ̯θάνατον καὶ ἀγήραον ἤματα πάντα·

Od.23.337 ἀλλὰ τοῦ οὔ ποτε θῡμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·
Od.23.338 ἠδ' ὡς ἐς Φαίηκας ἀφῑ́κετο πολλὰ μογήσᾱς,
Od.23.339 οἳ δή μιν περὶ κῆρι θεὸν ὣς τῑμήσαντο
Od.23.340 καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
Od.23.341 χαλκόν τε χρῡσόν τε ἅλις ἐσθῆτά τε δόντες.
Od.23.342 Τοῦτ' ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος
Od.23.343 λῡσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θῡμοῦ.
Od.23.344 Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε θεᾱ̀ γλαυκῶπις Ἀθήνη·
Od.23.345 ὁππότε δή ῥ' Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θῡμὸν
Od.23.346 εὐνῆς ἧς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου,
Od.23.347 αὐτίκ' ἀπ' Ὠκεανοῦ χρῡσόθρονον ἠριγένειαν
Od.23.348 ὦρσεν, ἵν' ἀνθρώποισι φόως φέροι. Ὦρτο δ' Ὀδυσσεὺς
Od.23.349 εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ' ἐπὶ μῦθον ἔτελλεν·
Od.23.350 « ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων
Od.23.351 ἀμφοτέρω, σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
Od.23.352 κλαίουσ'· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
Od.23.353 ἱ̄έμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης.
Od.23.354 Νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱ̄κόμεθ' εὐνήν,
Od.23.355 κτήματα μέν, τά μοί ἐστι, κομιζέμεν ἐν μεγάροισι,
Od.23.356 μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειρον,
Od.23.357 πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
Od.23.358 δώσουσ', εἱς ὅ κε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
Od.23.359 Ἀλλ' ἦ τοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἄπειμι
Od.23.360 ὀψόμενος πατέρ' ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
Od.23.361 σοὶ δέ, γύναι, τόδ' ἐπιστέλλω πινυτῇ περ ἐούσῃ·
Od.23.362 αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι
Od.23.363 ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
Od.23.364 εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν
Od.23.365 ἧσθαι, μηδέ τινα προτιόσσεο μηδ' ἐρέεινε. »
Od.23.366 Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἐδῡ́σετο τεύχεα καλά,

Od.23.367 ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,

Od.23.368 πάντας δ᾽ ἔντε᾽ ἄνωγεν ἀρήϊα χερσὶν ἑλέσθαι.

Od.23.369 Οἱ δέ οἱ οὐκ ἀπίθησαν, ἐθωρήσσοντο δὲ χαλκῷ,

Od.23.370 ὤϊξαν δὲ θύρᾱς, ἐκ δ᾽ ἤϊον· ἦρχε δ᾽ Ὀδυσσεύς.

Od.23.371 Ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα, τοὺς δ᾽ ἄρ᾽ Ἀθήνη

Od.23.372 νυκτὶ κατακρύψᾱσα θοῶς ἐξῆγε πόληος.